*‘μωρολογήσεις, Διονύσιε’ ‘μοναρχήσω μὲν οὖν’ εἶπε, καὶ δημηγορήσας εὐθὺς ᾑρέθη στρατηγὸς ὑπὸ τῶν Συρακοσίων.*

D 2. *Ἐπεὶ δ’ ἐν ἀρχῇ τῆς τυραννίδος ἐπολιορκεῖτο συστάντων ἐπ’ αὐτὸν τῶν πολιτῶν, οἱ μὲν φίλοι συνεβούλευον ἀπαλλαγῆναι τῆς ἀρχῆς, εἰ μὴ βούλεται κρατηθεὶς ἀποθανεῖν· ὁ δὲ βοῦν ἰδὼν σφαττόμενον ὑπὸ μαγείρου καὶ πίπτοντα ταχέως ‘εἶτα οὐκ ἀεικές ἐστιν’ εἶπεν ‘οὕτω βραχὺν ὄντα τὸν θάνατον φοβηθέντας ἡμᾶς ἀρχὴν ἐγκαταλιπεῖν τηλικαύτην;’*

3. *Τὸν δὲ υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπολείπειν ἔμελλεν, ἀνδρὸς ἐλευθέρου διαφθείραντα γύναιον, ἠρώτησε μετ’ ὀργῆς, τί τοιοῦτον αὐτῷ σύνοιδεν.’ εἰπόντος δὲ τοῦ νεανίσκου ‘σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον’* E *‘οὐδὲ σύ’ εἶπεν ‘υἱὸν ἕξεις, ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν.’*

4. *Πάλιν δὲ πρὸς αὐτὸν εἰσελθὼν καὶ θεασάμενος ἐκπωμάτων χρυσῶν καὶ ἀργυρῶν πλῆθος ἀνεβόησεν ‘οὐκ ἔστιν ἐν σοὶ τύραννος, ὃς ἀφ’ ὧν λαμβάνεις ἀπ’ ἐμοῦ ποτηρίων τοσούτων φίλον οὐδένα σεαυτῷ πεποίηκας.’*

5. *Χρήματα δ’ εἰσπράσσων τοὺς Συρακοσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δεομένους καὶ λέγοντας ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν, καὶ δὶς ἢ τρὶς τοῦτο ἐποίησεν· ἐπεὶ δὲ προστάξας πλείονα γελᾶν ἤκουσεν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιιόντας, ἐκέλευσε παύσασθαι ‘νῦν γὰρ οὐδὲν ἔχουσιν’ εἶπεν, ‘ὅτε κατα-* F *φρονοῦσιν ἡμῶν.’*